μάτων. οὕτω γοῦν καὶ Ζήνων ἠξίου πάντα πράττειν ἡμᾶς ἀσφαλῶς, ὡς ἀπολογησομένους ὀλίγον ὕστερον παιδαγωγοῖς. ὠνόμαζε γὰρ οὕτως ἐκεῖνος ὁ ἀνὴρ τοὺς πολλοὺς τῶν ἀνθρώπων ἑτοίμους ὄντας τοῖς πέλας ἐπιτιμᾶν, κἂν μηδεὶς αὐτοὺς παρακαλῇ. χρὴ δὲ τὸν ἀκούοντα μήτε πλούσιον εἶναι, μήτε αἰδῶ ἔχοντα πολιτικήν· ὡς, ἄν γε ταύτην ἔχῃ, διὰ φόβον οὐδεὶς αὐτῷ τἀληθῆ λέξει, καθάπερ οὐδὲ τοῖς πλουτοῦσι διὰ κέρδος οἱ κόλακες, ἀλλὰ κἂν εἴ τις ἀληθεύων παραφανείη, διασπῶνται πρὸς αὐτόν. ἐὰν οὖν τις ἤτοι πολλὰ δυνάμενος ἢ καὶ πλούσιος ἐθελήσῃ γενέσθαι καλὸς κἀγαθός, ἀποθέσθαι πρότερον αὐτὸν δεήσει [ταῦτα], καὶ μάλιστα νῦν, ὅπου οὐχ εὑρήσει Διογένη δυνάμενον εἰπεῖν ταὐτὸν τἀληθές, κἂν πλουσιώτατος ᾖ, κἂν μόναρχος. ἐκεῖνοι μὲν οὖν ὑπὲρ ἑαυτῶν βουλεύσονται· σὺ δ' ὁ μὴ πλούσιος μήτε δυνατὸς ἐν πόλει πᾶσι μὲν ἐπίτρεπε λέγειν, ἃ καταγινώσκουσί σου, πρὸς μηδένα δ' αὐτὸς ἀγανάκτει, καὶ οὕτως ἔχε ἅπαντας, ὡς Ζήνων ἔλεγε, παιδαγωγούς. οὐ μὴν ὁμοίως γε πᾶσι περὶ ὧν ἂν εἴπωσιν ἀξιῶ προσέχειν, ἀλλὰ τοῖς ἄριστα βεβιωκόσι πρεσβύταις. ὁποῖοι δ' εἰσὶν οἱ ἄριστα βιοῦντες, ὀλίγον ἔμπροσθεν εἶπον. ἐν δὲ τῷ χρόνῳ προϊόντι [καὶ χωρὶς ἐκείνων] αὐτὸς παρακολουθήσεις, καὶ γνώσει, ἡλίκα πρόσθεν ἦν, ἃ ἡμάρτανες, ἡνίκα μάλιστα ἐγώ σοι φανοῦμαι λέγων τἀληθῆ, μηδένα φάσκων ἔξω παθῶν ἢ ἁμαρτημάτων εἶναι, μηδ' ἂν εὐφυέστατος ᾖ, μηδ' ἂν ἐν ἔθεσι καλλίστοις τεθραμμένος, ἀλλὰ πάντα τινὰ σφάλλεσθαι, καὶ μᾶλλον ὅταν νέος ᾖ. —

Cap. IV. Δεῖται γὰρ ἀσκήσεως ἕκαστος ἡμῶν σχεδὸν ὅλου τοῦ βίου πρὸς τὸ γενέσθαι τέλειος ἀνήρ. οὐ μὴν ἀφίστασθαι χρὴ τοῦ βελτίω ποιεῖν ἑαυτόν, εἰ καὶ πεντηκοντούτης τις ὢν αἴσθοιτο τὴν ψυχὴν λελωβημένος οὐκ ἀνίατον οὐδ' ἀνεπανόρθωτον λώβην. οὐδὲ γὰρ εἰ τὸ σῶμα κακῶς διέκειτο πεντηκοντούτης ὤν, ἔκδοτον ἂν ἔδωκε

2. ἀπολογησαμένους L. ὕστερον παιδαγωγοῖς *om.* L. 4. καὶ μηδεὶς L. 4. παρακαλ[ῇ] ῇ add. m² L. 5. μήτε — μήτε M. μηδὲ — μηδὲ libri. αἰδοὺς L. πολιτικοὺς L. 8. παραφανείη M. παραφανῇ K. διασπῶνται M. ex L. διασπ^ἂν^ τὲ πρὸς αὐτόν; πρὸς αὐτῶν libri. 9. ἐθελήσῃ L. ἐθέλῃ σοι K. 10. ταῦτα L. 11. τἀληθ῀ = τἀληθῆ L. 16. ἀξιῶ L. ἄξιοῦ K. 18. [καὶ χωρὶς ἐκείνων] add. e L. 19. γνώσει M. γνώσεις K. ἡλίκα K. πηλίκα L. ἦν ἃ Editt. ἦν ἂν L. 22. μηδ' ἂν ἐν ἔθεσι — τεθραμμένος M. ex L.: μηδ' ἂν ἔθνεσι (B: ἔθνοις) καλῶς τοῖς; ἂν ἐν ἔθνεσι τοῖς καλῶς τεθραμμένοις K. Editt. 22. πάντα M. πάντως libri. 26. βελτίως ποιεῖν L. ἢ καὶ πεντηκ. L. B. 28. ἀνέδωκε L.

τῇ καχεξίᾳ, ἀλλὰ πάντως ἂν ἐπειράθη βέλτιον αὐτὸ κατασκευάσαι, καί τοι τὴν Ἡράκλειον εὐεξίαν οὐ δυνάμενος σχεῖν. μὴ τοίνυν μηδ' ἡμεῖς ἀφιστώμεθα τοῦ βελτίονα τὴν ψυχὴν ἐργάζεσθαι. κἂν τὴν τοῦ σοφοῦ μὴ δυνώμεθα σχεῖν, ἀλλὰ μάλιστα μὲν ἐλπίζωμεν ἔχειν κἀκείνην, ἂν ἐκ μειρακίου προνοώμεθα τῆς ψυχῆς ἡμῶν, εἰ δὲ μή, ἀλλὰ τοῦ γε μὴ πάναισχροι αὐτὴν γενέσθαι, καθάπερ ὁ Θερσίτης τὸ σῶμα, φροντίζωμεν. εἶτ' οὖν ἐφ' ἡμῖν ἦν [μήπω] γενομένοις ἐντυχεῖν τῷ προνοουμένῳ τῆς γενέσεως ἡμῶν, ἐδεόμεθ' ἂν λαβεῖν σῶμα γενναιότατον. ὃ δ' [εἰ] ἠρνήσατο, πάντως ἂν ἐφεξῆς ἐδεήθημεν αὐτοῦ, δεύτερον γοῦν ἢ τρίτον ἢ τέταρτον αὐτὸ σχεῖν ἀπὸ τοῦ πρώτου κατ' εὐεξίαν. ἀγαπητὸν γοῦν [ἦν], εἰ καὶ μὴ τὸ Ἡρακλέους, ἀλλὰ τόγε τοῦ Ἀχιλλέως σχεῖν, ἢ εἰ μηδὲ τοῦτο, τόγε τοῦ Αἴαντος ἢ Διομήδους ἢ Ἀγαμέμνονος ἢ Πατρόκλου, εἰ δὲ μὴ τούτων, ἄλλων γέ τινων ἀγαθῶν τῶν ἡρώων. οὕτως οὖν, εἰ καὶ μὴ τὴν τελευταίαν εὐεξίαν τις οἷός τ' ἐστὶ τῆς ψυχῆς ἔχειν, δέξαιτ' ἄν, οἶμαι, δεύτερον ἢ τρίτον ἢ τέταρτον γενέσθαι μετὰ τὸν ἄκρον. οὐκ ἀδύνατόν γε τοῦτο τῷ βουληθέντι κατεργάσασθαι χρόνῳ πλείονι συνεχῶς τῆς ἀσκήσεως γενομένης. ἔγωγε μειράκιον ὢν ἔτι ταῦτ' ἀκούσας, ἐπεὶ εἶδον ἄνθρωπον ἀνοῖξαι θύραν σπεύδοντα, μὴ προχωρούσης δὲ εἰς τὸ δέον αὐτῷ τῆς πράξεως, δάκνοντα τὴν κλεῖδα, καὶ λακτίζοντα τὴν θύραν καὶ λοιδορούμενον τοῖς θεοῖς, ἠγριωμένον τε τοὺς [ἀμφοτέρους] ὀφθαλμούς, ὥσπερ οἱ μαινόμενοι, καὶ μικροῦ δεῖν αὐτὸν ἀφρόν, ὡς οἱ κάπροι, προϊέμενον ἐκ τοῦ στόματος, ἐμίσησα τὸν θυμὸν οὕτως, ὥστε μηκέτι ὀφθῆναι δι' αὐτὸν ἀδημονοῦντά με. ἀρκέσει δὲ καὶ τοῦτο τήν γε πρώτην, [ὡς] μήτε θεοῖς λοιδορεῖσθαί σε μήτε λακτίζειν μήτε δάκνειν τοὺς λίθους καὶ τὰ ξύλα [καὶ] μήτ' ἄγριον ἐμβλέπειν, ἀλλ' ἐν σαυτῷ κατέχειν τε καὶ

---

1. ἀλλὰ *om.* L. 2. δυνάμενον L. 3. ἀφιστάμεθα L. B. — τὸ βελ αὐτὴν (τι sup. scr.) L. τοῦ βέλτιονα (sic!) B. κᾆν τὴν K. κατὰ τὸν L. 4. δυνάμεθα L. κάλιστα l. ἐλπίζομεν L. 7. ἦν μήπω M. ex L.: ἢ ἦτ' οὖν γενομ. 8. ἐδεόμεθ' C.; δεο^μν' L. [εἰ] add. e conj. 9. ἂν L. οὖν K. 16. ἦν εἰ M. ἤ, καὶ K. 14. ἀγαθῶν K. ἅμα τὰς L. 11. τὸν ἄκρον K. τῶν ἄκρων L. B. γε L.; δὲ K. 18. ἔγωγε M. δὲ K. ἐπεὶ εἶδον C. M. ἐπεῖδον L. K. ἐπιδὼν l. 20. δὲ εἰς K. εἰς L. 22. ἀμφοτέρους M. ex conj.; L.: „spatium duodecim fere litterarum in fine versus vacuum relictum.“ 24. δι' αὐτὸν L.: sup. scr. m² δυνατὸν. 25. ὡς delendum. 27. καὶ expung. videtur.

κρύπτειν τὴν ὀργήν. ἀόργητος μὲν γὰρ εὐθέως ἅμα τῷ βουληθῆναι γενέσθαι τις οὐ δύναται, κατασχεῖν δὲ τὸ τοῦ πάθους ἄσχημον δύναται. τοῦτο δ' ἂν πολλάκις ποιήσῃ, γνωριεῖ ποτε καὶ αὐτὸς ἑαυτὸν ἧττον νῦν ἢ πρόσθεν ὀργιζόμενον, ὡς μήτ' ἐπὶ σμικροῖς μήτ' ἐπὶ μεγάλοις θυμοῦσθαι· ἀλλ' ἐπὶ μόνοις τοῖς μεγάλοις μιασμοῖς; οὔπω γὰρ ὑπάρχει παθεῖν ὕστερον αὐτὸν καὶ ἐπὶ τοῖς μεγίστοις ὀργίζεσθαι μιασμοῖς, ἥν τις, ὅπερ ἐγὼ προστάξας ἑαυτῷ μειράκιον ὢν ἔτι διὰ παντὸς ἐφύλαξα τοῦ βίου, φυλάξῃ, τὸ μηδέποτε τυπτῆσαι τῇ χειρί μου μηδένα τῶν οἰκετῶν, ὅπερ ἤσκηταί μου καὶ τῷ πατρί. καὶ πολλοῖς ἐπετίμησε τῶν φίλων, περιθλάσασιν [εὑρὼν] ἐν τῷ πατάξαι κατὰ τῶν ὀδόντων οἰκέτας, ἀξίους εἶναι λέγων ἐπὶ τῇ γενομένῃ φλεγμονῇ καὶ σπασθῆναι καὶ ἀποθανεῖν, ὅπου γ' ἐξῆν αὐτοῖς καὶ νάρθηκι καὶ ἱμάντι μικρὸν ὕστερον ἐμφορῆσαι πληγὰς ὅσας ἠβούλοντο καὶ τῇ βουλῇ τὸ τούτων ἔργον ἐπιτελεῖν. ἄλλοι δὲ οὐ μόνον πύξ, ἀλλὰ καὶ λακτίζουσι καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττουσι καὶ γραφείῳ κεντοῦσιν, ὅταν τοῦτο τύχωσιν ἔχοντες. εἶδον δέ τινα καὶ καλάμῳ, δι' οὗ γράφομεν, ὑπ' ὀργῆς εἰς τὸν ὀφθαλμὸν πατάξαντα τὸν οἰκέτην. Ἀδριανὸς [δὲ ὁ] αὐτοκράτωρ, ὥς φασι, γραφείῳ ἐπάταξεν εἰς τὸν ὀφθαλμὸν ἕνα τῶν ὑπηρετῶν. ἐπεὶ δὲ διὰ τὴν πληγὴν ταύτην ἔγνω γενόμενον ἑτερόφθαλμον, ἐκάλεσέ τε καὶ συνεχώρησεν ἀντὶ τοῦ πάθους αἰτεῖν παρ' αὐτοῦ δῶρον. ἐπεὶ δὲ διεσιώπησεν ὁ πεπονθὼς αὖθις ἠξίωσεν ὁ Ἀδριανὸς αἰτεῖν, ὅ τι βούλοιτο. ἀρνούμενον δὲ ἄλλων μὲν οὐδέν, ὀφθαλμὸν δὲ αἰτῆσαι. τί γὰρ ἂν καὶ γένοιτο δῶρον ἀντάξιον ἀπωλείας ὀφθαλμοῦ; βούλομαι δέ σε καὶ τῶν ἐμοί ποτε συμβάντων ἑνὸς ἀναμνῆσαι, καί τοι γε ἤδη πολλάκις ὑπὲρ αὐτοῦ εἰρηκώς· ἀπονοστήσας [γὰρ] ἐκ Ῥώμης

2. τις in L a m² add. 3. ποιήσῃ M. libri ποιήσειεν. 6. οὔπω M. conj. e L.: οὕτως. l. οὔτε δὲ. οὔτε editt. μεγίστοις L. μεγάλοις libri. 7. ἥν τις M. εἴ τις libri. τις ὡς ὅπερ L. ἑαυτῷ M. ἐμαυτῷ C. αὐτῷ K. ἀυ^τ τὸ L. αὐτο B. 8. φυλάξῃ *om.* L. 10. εὑρὼν tanq. gloss. delendum. ε ῦ ρὸν (sic) L. 12. ὅπου γὰρ L. B. 13. ἐμφορῆσαι M. ἐφορῆσαι L. B. ἐφορίσαι K. 14. καὶ *om.* L. et B. — τούτων L. τούτοις B. τοιοῦτον K. 18. δὲ L. ὁ M. πατάξας L. B. 19. πῆ δὲ διὰ L. B. 21. δῶρον L. δῶρα K. 22. ἀρνούμενον δὲ M. ex L.: ἀρνοῦντα τῶν δ' = B. ἀρνοῦντα τόνδε. — τὸν δ' ἀρνοῦντα ἄλλων K. — ὀφθαλμὸν αἰτῆσαι L. 25. συμβάντων M. συμβαινόντων libri. 26. ἀπονοστήσας γὰρ M. e conj. ἀπενοήσασιν ἂν L. F ἀπευνοήσασιν sup. scr. m² „Eadem in marg.“: F ἄπερ νοήσασιν. ἀπονοστήσαντι K. — ἐκ Ῥώμης K. — L. F ἀνευρω^μ sup. scr. m² ἂν ἐκ ρω^μ.

συνῳδοιπόρησά τινι φίλῳ τῶν ἐκ Γόρτυνος τῆς Κρήτης ἀνδρί, τὰ μὲν ἄλλα λόγου τινὸς ἀξίῳ. καὶ γὰρ ἁπλοῦς ἦν καὶ φιλικὸς [καὶ κοινωνικὸς] καὶ χρηστός, ἐλευθέριός τε περὶ τὰς ἐφ' ἡμέρας δαπάνας. ἦν δὲ ὀργίλος οὕτως, ὡς ταῖς ἑαυτοῦ χερσὶ χρῆσθαι κατὰ τῶν οἰκετῶν, ἔστι δ' ὅτε καὶ τοῖς σκέλεσι, πολὺ δὲ μᾶλλον ἱμάντι καὶ ξύλῳ τῷ παρατυχόντι. γενομένοις οὖν ἡμῖν ἐν Κορίνθῳ πάντα μὲν ἔδωκε τὰ σκεύη καὶ τοὺς οἰκέτας [ἐκτὸς δυοῖν] ἀπὸ Κεγχρεῶν εἰς Ἀθήνας ἐκπέμψας κατὰ πλοῦν, αὐτὸς ὄχημα μισθωσάμενος πεζῇ διὰ Μεγάρων ἐπορεύθη. καὶ δὴ διελθόντων ἡμῶν Ἐλευσῖνα καὶ κατὰ τὸ Θριάσιον ὄντων, ἤρετο τοὺς ἑπομένους οἰκέτας αὐτοῦ περί τινος σκεύους. οἱ δ' οὐκ εἶχον ἀποκρίνασθαι. θυμωθεὶς οὖν, ἐπεὶ μηδὲν ἄλλο εἶχε, δι' οὗ πατάξειε τοὺς νεανίσκους, ἐν θήκῃ περιεχομένην μάχαιραν [μεγάλην] ἀνελόμενος, ἅμα τῇ θήκῃ καταφέρει τῆς κεφαλῆς ἀμφοτέρων οὐ πλατεῖαν ἐπενεγκὼν — οὐδὲν γὰρ ἂν οὕτως εἴργαστο δεινὸν — ἀλλὰ κατὰ τὸ τέμνον τοῦ ξίφους. ἥ τε οὖν θήκη διετμήθη παραχρῆμα, καὶ τραῦμα μέγιστον ἐπὶ τῆς κεφαλῆς διττὸν ἀμφοτέροις εἰργάσατο, δὶς γὰρ ἑκάτερον αὐτὸς ἐπάταξεν. ὡς δὲ πλεῖστον ἄμετρον αἷμα χεόμενον ἐθεάσατο, καταλιπὼν ἡμᾶς εἰς Ἀθήνας ἀπῆρε βαδίζων ὠκέως, ἕνεκα τοῦ μή διαφθαρῆναί τινα τῶν οἰκετῶν ἔτι παρόντος αὐτοῦ. ἐκείνους μὲν οὖν ἡμεῖς ἐσώσαμεν εἰς τὰς Ἀθήνας. ὁ δὲ φίλος ὁ Κρὴς ἑαυτοῦ καταγνοὺς εἰσάγει με λαβόμενος τῆς χειρὸς εἰς οἶκόν τινα, καὶ προσδοὺς ἱμάντα καὶ ἀποδυσάμενος ἐκέλευσε μαστιγοῦν αὐτὸν ἐφ' οἷς ἔπραξεν, ὑπὸ τοῦ καταράτου θυμοῦ βιασθείς· αὐτὸς γὰρ οὕτως ὠνόμασεν.

1. συνῳδοιπόρησα M. e conj. συνοδοιπορῆσαι libri cf. pag. 14. 2. φίλῳ K. φίλων L. — Γόρτυνος M. ex L.: Γορτύνως. — Γορτύνης K. A. B. 3. ἁπλοῦς ὢν L. καὶ κοινωνικὸς sup. scr. m² L. φιλικὸς libri. 3. ἐφημέρας L. ἐφ' ἡμέρας Editt. 7. ἔδω L. 7. ἐκτὸς δυοῖν M. e conj. ex L. ἐκτὸς δὲ ἓν, quae verba ex hoc loco vel ex margine in inferiorem versum post αὐτὸς falso irrepserant. De toto loco cf. pag. 14. 8. ἐκπέμψας M. C. ἐκπέμψαι libri. αὐτὸς L. (a m¹) m² corr. αὐτοῦ ἐκτὸς δὲ ἕν. 9. Μεγάρων L. a m² pro μεγαλ'. ἐπορεύθη M. πορεύεται G. ἐπορεύετο C. πορεύεσθαι libri. 12. μηδὲν L. μὴ Editt. εἶχεν L. πατάξει L. 13. μεγάλην L. m¹ τῆς κεφαλῆς L. τὴν κεφαλὴν Editt. εἰς τὴν κεφ. C. 14. ἀμφοτέρων L. πλατεῖαν M. C. πλατεῖς K. πλατ' L. πλάτεις B. — ἂν om. L. A. B. ἂν K. εἴργαστο ἂν G. 19. ἀπῆρε K. A. C. ἀπῆει L. acc. corr. m² et ει ex η. ὠκέως L. εὐθέως Editt. — τοῦ μὴ K. μὴ om. L. B. 21. καταγνοὺς εἰσάγει M. κατα γνοὺς K. Μεγάρας εἰσάγει Editt. K. Μεγαλ' L. fort. μεγάλας ὀργάς.

ἐμοῦ δ' ὡς εἰκὸς γελῶντος, ἐδεῖτο προσπίπτων τοῖς γόνασι, μὴ ἄλλως ποιεῖν. εὔδηλον οὖν, ὅτι μᾶλλον ἐποίει με γελᾶν, ὅσῳ μᾶλλον ἐνέκειτό μοι μαστιγωθῆναι δεόμενος. ἐπειδὴ δὲ ταῦτα ποιούντων ἡμῶν ἱκανὸς ἐτρίβετο χρόνος, ὑπεσχόμην αὐτῷ δώσειν πληγὰς, ἥν μοι παράσχῃ καὶ αὐτὸς ἕν, ὃ ἂν αἰτήσω, σμικρὸν πάνυ· ὡς δ' ὑπέσχετο, παρεκάλουν ὑποσχεῖν μοι τὰ ὦτα λόγον τινὰ διερχομένῳ, καὶ τοῦτ' ἔφην εἶναι τὸ αἴτημα. τοῦ δὲ ὑποσχομένου πράξειν οὕτως, πλέον αὐτῷ διελέχθην ὑποτιθέμενος ὅπως χρὴ παιδαγωγῆσαι τὸ ἐν ἡμῖν θυμοειδὲς, τῷ λόγῳ δηλονότι, καὶ οὐ διὰ μαστίγων. [ἀλλ' ἑτέρῳ τρόπῳ παιδαγωγεῖσθαι διῆλθον.] ἐκεῖνος μὲν οὖν ἐνιαυτῷ προνοησάμενος ἑαυτοῦ πολὺ βελτίων ἐγένετο. σὺ δ', εἰ καὶ μὴ πολὺ γένοιο βελτίων, ἀρκεσθήσῃ γε καὶ μικρῷ τινι κατὰ τὸν πρῶτον ἐνιαυτὸν ἐπιδοῦναι πρὸς τὸ κρεῖττον. ἐὰν γὰρ ἐπιμείνῃς τῷ πάθει ἀντέχων καὶ πραΰνων τὸν θυμὸν, ἀξιολογώτερον ἐπιδώσεις κατὰ τὸ δεύτερον ἔτος. εἶτ', ἐὰν ἔτι διαμείνῃς ἑαυτοῦ προνοούμενος καὶ μᾶλλον ἐν τῷ τρίτῳ καὶ μετ' αὐτὸν ἐν τῷ τετάρτῳ καὶ πέμπτῳ [καὶ τοῖς ἑξῆς] αἰσθήσῃ μεγάλης αὐξήσεως εἰς βίου σεμνότητα. αἰσχρὸν γὰρ, ἵνα μέν τις ἰατρὸς ἀγαθὸς ἢ ῥήτωρ ἢ γραμματικὸς ἢ γεωμέτρης γένηται, πολλοῖς ἔτεσιν ἐφεξῆς κάμνειν, ὡς δ' ἄνθρωπος ἀγαθὸς, μηδέποθ' ἑλέσθαι τῷ μήκει τοῦ χρόνου κάμνειν.

Cap. V. Τίς οὖν ἐστιν ἡ τῆς ἀσκήσεως ἀρχή; Πάλιν ἀναλάβωμεν — ὑπὲρ γὰρ τῶν ἀναγκαιοτάτων οὐδὲν χεῖρόν ἐστι καὶ δὶς καὶ τρὶς λέγειν τὰ αὐτὰ — τὸ μηδέποτε μηδένα τῶν οἰκετῶν ἁμαρ-

3. ἐνέκειτο μοι M. e c. ἐν ἐκείνῳ τῷ libri. δεόμενος M. l. cf. Plut. Fab. Max, IX, 11. ἐνέκειτο τῷ δήμῳ πολὺς μὴ προέσθαι δεόμενος τὸν Μινούκιον. θεώμενος K. — ἐπειδὴ δὲ Editt. δὲ *om.* L. 4. ἢν M. εἰ libri. παράσχ. L. εἰ et ἢν saepissime confunduntur. Itaque v. c. formula εἰ τύχῃ quae Galeno maxime in deliciis est, semper corrigenda est in ἢν τύχῃ. Aliis locis, quibus conjunctivus facile corrigi nequit, εἰ cum optativo scribendum est. 7. πράξειν L. πράττειν Editt. διηλέχθην L. B. 9. ᾧ L. τῷ Editt. 10. verba ἀλλ' — διῆλθον tamquam glossema inclusi. cf. pag. 16. παιδαγωγεῖσθαι M. ex L. παιδαγωγεῖται B. παιδαγωγῆσαι K. 11. ἐνιαυτῷ L. ἐν ἑαυτῷ Editt. 14. ἀξιολογικώτερον L. 15. ἑαυτοῦ L. M. σαυτῷ Editt. 17. καὶ τοῖς ἑξῆς add. ex L. — εἰς βίου σεμνότητα L. εἰς βίον σεμνότερον Editt. 18. ἀγαθὸς add. ex L. ἢ ῥήτωρ ἢ γραμμ. L. ἢ γραμμ. ἢ ῥήτωρ Editt. 19. κάμνειν Editt. κινεῖν L. ὁ δ' ἄνθρωπος L. πότ' ἑλέσθαι L. 22. Post ἀρχή interrogationis signum posui. 23. Statui parenthesin. 24. ἁμαρτῶντα L.

τάνοντα διὰ τῶν ἑαυτοῦ χειρῶν νουθετεῖν, ἀλλ' ὥσπερ ἐγώ ποτε πυθόμενος, αἱρεῖσθαι Πλάτωνα πρός τινα τῶν ὑπηρετῶν ἁμαρτόντα, διὰ παντὸς οὕτως ἔπραξα, καλὸν ἡγησάμενος εἶναι τὸ ἔργον, οὕτω καὶ σὺ παράγγειλον ἑαυτῷ, μήτ' αὐτὸς διὰ τῶν αὑτοῦ χειρῶν οἰκέτην πλῆξαι μήτ' ἄλλῳ προστάξαι, παρ' ὃν ἂν ὀργισθῇς χρόνον, ἀλλ' εἰς τὴν ὑστέραν ἀναβαλέσθαι.

[καταστάντος γάρ τοι τοῦ θυμοῦ σωφρονέστερον ἐπισκέψῃ, πόσας χρὴ πληγὰς ἐντεῖναι τῷ τῆς κολάσεως ἀξίῳ. ἢ μηδὲ τὴν ἀρχὴν ἄμεινόν ἐστι σὺν γνώμῃ πρᾶξαι οὕτως, αἰτήσαντα ἱμάντα καὶ σωφρονίσαντα λόγῳ καὶ ἀπειλήσαντα μηκέτι τὸ λοιπὸν συγχωρήσειν, ἐὰν ὁμοίως ἁμάρτῃ;]

πολλῷ γὰρ ἄμεινόν ἐστι μηκέτι ζέοντος τοῦ θυμοῦ πράττειν, ἃ πράττεις, ἔξω τῆς ἀλογίστου μανίας γενόμενον. [ὅπερ καὶ τῷ λογισμῷ σου πιστεύων εὑρήσεις]. ὅτι γὰρ ὁ θυμὸς οὐδὲν ἀποδεῖ μανίας, ἐξ αὐτῶν ἤδη ὧν ποιοῦσιν οἱ θυμούμενοι μαθεῖν ἔστι. παίοντες γὰρ [καὶ λακτίζοντες] καὶ κατασχίζοντες ἱμάτια καὶ θορυβῶδες ἐμβλέποντες ἕκαστα πράττουσιν, ἄχρι τοῦ, καθάπερ ἔφην, καὶ θύραις καὶ λίθοις καὶ κλεισὶν ὀργίζεσθαι καὶ τὰ μὲν καταράσσειν, τὰ δὲ δάκνειν, τὰ δὲ λακτίζειν. ἀλλ' ἴσως φήσεις ταῦτα τῶν ὄντως μαινομένων εἶναι, τὰ δὲ ὑπὸ σοῦ γινόμενα σωφρονούντων. ἐγὼ δέ, ὅτι μὲν ἔλαττον ἁμαρτάνουσι τῶν τοὺς λίθους καὶ τὰς θύρας καὶ τὰς κλεῖς δακνόντων τε καὶ λακτιζόντων οἱ τοὺς οἰκέτας ταῖς ἑαυτῶν παίοντες χερσίν, ὁμολογῶ, πέπεισμαι δὲ καὶ τὸ πρὸς ἄνθρωπον ὠμόν τι ποιεῖν ἢ μικρᾶς μανίας ἔργον ὑπάρχειν ἢ ζώου τινὸς ἀλόγου τε καὶ ἀγρίου· οὐ γὰρ μόνος ἄνθρωπος ἐξαίρετον ἔχει

---

3. οὕτως L. 4. ἑαυτῷ L., σαυτῷ Editt. — αὐτοῦ M. αὐτοῦ L., σαυτοῦ Editt. 6. ἀναβαλέσθαι M. ex L.: ἀναβαλλέσθαι; ἀναβάλλεσθαι l. ἀνακαλέσασθαι Editt. 7. verba καταστάντος — ἁμάρτῃ interpolationis speciem prae se ferentia uncis inclusi cf. pag. 16. καταστάντος γάρ τοι τοῦ θυμοῦ L. μετὰ γάρ τοι τὸν θυμὸν Editt. 8. ἢ μηδὲ K. L. εἰ μηδέ C. — μὴν ἀρχὴν L. 9. σὺν γνώμῃ M. auctore H. Sauppio, συγγνώμῃ K. — αἰτήσει L. — σωφρονήσαντα L. B. 10. τὸ λυποῦν L.; de confus. his verbis cf. Cobet Novae lectt. p. 82. — συγχωρήσειν L. συγχωρῆσαι Editt. 12. verba ὅπερ — εὑρήσεις glossam olere videntur; ὅπερ τῷ λογισμῷ σου πιστεύων M. e conj.; ὁπότε καὶ τῷ λογισμῷ τὸ πυκτεῦον εὑρήσεις libri cf. pag. 17. 14. ἐξ αὐτῶν ὃν L. — γὰρ *om.* L. 15. καὶ λακτίζοντες expunxerim propter ea quae secuntur: τὰ δὲ λακτίζειν. 17. κατεάσσειν L. 18. φήσεις M. C., φήσουσι Editt. 21. τῶν ἑαυτῶν L. 23. ὠμόν τι Sauppe, ἅμα τι libri, τοιοῦτο τι C. 24. ἄνθρωπος Sauppe. — ἐξαίρετον M. ἐξαίρε^τ L. ἐξαίρετα Editt. — ἔχει παρὰ M. ἔχει ἄρα παρὰ K, ἔχει ἄρα L.

παρὰ τὰ ἄλλα τὸ λογίζεσθαι; τοῦτο δ' ἐὰν ἀπορρίψῃς [καὶ] τῷ θυμῷ χαρίζῃ, ζώου, οὐκ ἀνθρώπου βίος. μὴ τοίνυν νόμιζε, φρόνιμον ἄνθρωπον ὑπάρχειν, ὃς ἂν αὐτὸ τοῦτο μόνον ἐκφύγῃ, λακτίζειν καὶ δάκνειν καὶ κεντεῖν τοὺς πέλας. ὁ γὰρ τοιοῦτος οὐκέτι μέν ἐστι θηρίον, οὐ μὴν ἤδη γε φρόνιμος ἄνθρωπος, ἀλλ' ἐν τῷ μεταξὺ τούτων τε καὶ θηρίων. ἆρ' οὖν ἀρκεῖ σοι μηκέτ' εἶναι θηρίῳ, ἢ βέλτιον, ὥσπερ οὐκέτι θηρίον, οὕτω μηδ' ἄφρονά σε μηδ' ἀλόγιστον ἔτι διαμένειν, τοῦ [δ'] ἄνθρωπος γενέσθαι καλὸς κἀγαθὸς οὐ πεφρόντικας; ἔσῃ δὲ τοιοῦτος, ἐὰν μηδέποτε θυμῷ δουλεύων, ἀλλ' ἀεὶ διαλογιζόμενος ἅπαντα πράττῃς, ἅ σοι χωρὶς τοῦ πάθους σκεπτομένῳ φαίνεται κράτιστα. πῶς οὖν ἔσται τοῦτο; τιμήσαντός σου τιμὴν σαυτὸν μεγίστην, ἧς οὐδ' ἐπινοῆσαι δυνατόν ἐστι μείζονα. τὸ γὰρ ἁπάντων ἀνθρώπων ὀργιζομένων αὐτὸν ἀόργητον εἶναι, τί ἄλλο ἐστὶν ἢ ἑαυτὸν ἀποδεῖξαι πάντων ἀνθρώπων βελτίονα; σὺ δὲ ἴσως νομίζεσθαι [τί ἄλλο ἔστιν ἢ ἑαυτὸν ἀποδεῖξαι νομίζεσθαι] μὲν εἶναι βελτίων ἐθέλεις, εἶναι δὲ ὄντως βελτίων οὐ βούλει, καθάπερ εἴ τις ἐπεθύμησε νομίζεσθαι μὲν ὑγιαίνειν τὸ σῶμα νοσεῖν δὲ κατ' ἀλήθειαν. ἢ οὐχ ἡγῇ νόσημα εἶναι ψυχῆς τὸν θυμόν; ἢ μάτην ὑπὸ τῶν παλαιῶν ὀνομάζεσθαι νομίζεις πάθη ψυχῆς πέντε ταῦτα, λύπην ὀργὴν θυμὸν ἐπιθυμίαν φόβον; ἀλλ' ἔμοιγε δοκεῖ βέλτιον εἶναι μακρῷ πρὸς τὸ ἐπὶ πολὺ ἔχειν ἄνευ τῶν εἰρημένων παθῶν, πρῶτον μὲν ἐξαναστάντα τῆς κοίτης ἐπισκοπεῖσθαι πρὸ

---

1. τὰ ἄλλα τὸ L. τἄλλα K. — post λογίζεσθαι interrogationis signum posui Sauppio autore. τοῦτο δ'ἐὰν Sauppe. ταῦτα ἐὰν K. 2. ἀπορρίψῃς Sauppe. ἀπορίψασ[θ] L. ἀπορρίψωσιν K. τῷ θυμῷ χαρίζεσθαι τῷ θυμῷ ζωὴν L. καὶ τῷ θυμῷ χαρίζῃ M. ζώου M. ζοὴν libri. — βίοι L. 3. ὡς ἂν L. 4. κεντρεῖν L. 5. μὴν ἐστὶ L. 6. ἀρκεῖ σοι — θηρίῳ Sauppe ex L. ἀσκ. 'σοι — θηρίω; — ἀσκήσεις — θηρίον Editt. 8. Verba τοῦ [δ'] ἄνθρωπος γενέσθαι — οὐ πεφρόντικας transposui, quia post μηκέτ' εἶναι θηρίῳ male se habent. [δ'] M. 9. πεφρόντικας L. πεφροντικῶς Editt. πεφροντικότα B. 10. ἃ σοι M. ἅπαντα σοι libri. 15. σὺ δὲ L. σὲ δ' Editt. Verba τί ἄλλο — νομίζεσθαι tamquam διττογραφία librarii errore orta, expungenda sunt cf. p. 19. 16. ἐθέλεις M. — ἐθέλειν Editt. et L. ὄντως L. οὕτως Editt. ου βούλ L. μὴ βούλεσθαι Editt. — 18. νοσεῖν L. νοσεῖ K. 19. πάθη ψυχῆς L. ψυχῆς πάθη Editt. — δοκεῖ βέλτιον εἶναι δοκεῖ L. 21. πρὸς τὸ M. ex πρῶτον μὲν, quae verba ex inferiore versu in hunc locum falso illata erant. cf. pag. 20. ἔχων L. 22. πρὸ L. πρὸς Editt.

πάντων τῶν κατὰ ἡμέραν ἔργων, ἆρα βέλτιόν ἐστι πάθεσι δουλεύοντα ζῆν ἢ λογισμῷ χρῆσθαι πρὸς ἅπαντα; δεύτερον δ', ὅτι τῷ βουλομένῳ γίγνεσθαι καλῷ κἀγαθῷ παρακλητέον ἐστὶ τὸν δηλώσοντα τῶν ὑφ' ἑαυτοῦ πραττομένων οὐκ ὀρθῶς ἕκαστον, εἶτ' ἔτι καθ' ἑκάστην ἡμέραν τε καὶ ὥραν ἔχειν ἐν προχείρῳ τὴν δόξαν ταυτην, ὡς ἄμεινον μέν ἐστιν ἑαυτὸν τιμῆσαι τῶν καλῶν κἀγαθῶν, τοῦτο δ' ἄνευ τοῦ σχεῖν τὸν δηλώσοντα τῶν ἁμαρτανομένων ἕκαστον ἀδύνατόν ἐστιν ἡμῖν περιγενέσθαι, καὶ μέντοι καὶ σωτῆρα ἐκεῖνον καὶ φίλον μέγιστον ἡγεῖσθαι τὸν μηνύσαντα τῶν πλημμελουμένων ἕκαστα· εἶθ' ὅτι, κἂν ψεῦδος σοι φαίνηταί ποτ' ἐγκαλέσας, ἀόργητον προσήκει φαίνεσθαι, πρῶτον μέν, ὅτι δυνατόν ἐστιν; ἐκεῖνον σοῦ βέλτιον ὁρᾶν ἕκαστον ὧν ἁμαρτάνων τυγχάνεις, ὥσπερ καὶ σὲ ὧν ἐκεῖνος· τὸ δὲ δεύτερόν ἐστι, κἂν ἐπηρεάσῃ ποτὲ ψευδῶς, ἀλλ' οὖν ἐπήγειρέ σε πρὸς ἀκριβεστέραν ἐπίσκεψιν ὧν πράττεις. ὃ δ' ἐστὶ μέγιστον ἐν τούτῳ, ἀεὶ φύλαττε προῃρημένος γε τιμᾶν σεαυτόν. Ἔστι δὲ τοῦτο διὰ μνήμης ἔχειν πρόχειρα τό τε τῶν ὀργιζομένων τῆς ψυχῆς αἶσχος τό τε τῶν ἀοργήτων κάλλος. ὥσπερ [δ' ὁ] ἁμαρτάνειν ἐθισθεὶς χρόνῳ πολλῷ δυσεξάλειπτον ἔσχε τὴν κηλῖδα τῶν παθῶν, οὕτω καὶ τῶν δογμάτων, οἷς πειθόμενος ἀνὴρ γενήσῃ καλὸς κἀγαθὸς, ἐν πολλῷ χρόνῳ προσήκει μελετᾶν ἕκαστον. ἐπιλανθανόμεθα γὰρ αὐτοῦ ῥᾳδίως ἐκπίπτοντος τῆς ψυχῆς ἡμῶν, διὰ τὸ φθάσαι πεπληρῶσθαι τοῖς πάθεσιν αὐτήν. τοιγαροῦν παρακολουθητέον ἐστὶν, ἕκαστον τῶν σωθῆναι βουλομένων μηδεμίαν ὥραν ἀπορραθυμεῖν, ἐπιτρεπτέον τε πᾶσι κατηγορεῖν ἡμῶν, ἀκουστέον τε πρᾴως αὐτοὺς καὶ χάριν οὐ τοῖς κολακεύουσιν, ἀλλὰ τοῖς ἐπιπλήττουσιν [ἰστέον].

---

1. κατὰ ἡμέραν Sauppe. κατὰ μέρος libri. 2. ὅτι τῷ M. ὅτῳ Editt. δ' L. 3. καλῷ κἀγαθῷ M. καλὸς καγαδὸς K. L. 4. εἶθ' ὅτι L. 5. ἐν προχείρα (sic) L. 7. δηλώσαντα L. τιμῆσαι τῶν καλῶν Sauppe. τιμήσαντα καλὸν K. libri. 9. τὸν σωτ. K. om. τὸν M. 10. εἶθ' ὅτι K. οἶθ' (sic) ὅτι B. οἶδ' ὅτι L. 13. καὶ σὲ ὧν ἐκεῖνος M. ὥσπερ L. ὡσ γε καὶ σὲ τῶν ἐκείνου libri. τὸ δὲ δεύτερόν ἐστι M.; libri: τί δεύτερόν ἐστι; *om.* K. 16. τιμᾶν L. Editt.: τιμᾶσθαι. 18. κάλλος Editt. καλῶς L. — ὥσπερ M. ὃς γὰρ libri. δ' ὁ M. e conj. ἐθισθεὶς L. ἐθισθῇ Editt. δυσεξάλειπτον C. δυσεκλήπτως K. δυσέκληπτος L. B. δυσέκνιπτον G. 19. κηλῖδα C. G. probante Sauppio; κλεῖδα libri. 22. ἐκπίπτοντα L. 23. αὐτὴν Editt. ἑαυτ L. — παρακολουθητέον L. παρακόλουθον Editt. 24. ὡς μηδεμίαν K. om. ὡς M. 26. ἰστέον Sauppe. ἔχειν K. B. ἔχειν *om.* L.

ἀνεῴχθη σου ἡ θύρα διὰ παντὸς τῆς οἰκήσεως, ἔξεστι τοῖς συνήθεσιν εἰσιέναι πάντα καιρὸν, ἣν οὕτως ᾖς παρεσκευασμένος. δεῖ οὖν θαρρεῖν, ὑπὸ τῶν εἰσιόντων εὑρίσκεσθαι μηδενὶ τῶν μεγάλων ἁμαρτημάτων ἰσχυρῶς κατειλημμένον. ἔστι δ' ὥσπερ τὸ πᾶν τῷ ἄκοντι ἐκκόψαι δύσκολον, οὕτω τὰ μεγάλα τῷ βουληθέντι ῥᾷστον. τῆς θύρας οὖν ἀνεῳγμένης σου διὰ παντὸς, ὡς εἶπον, ἐξουσία τοῖς συνήθεσιν ἔστω πάντα καιρὸν εἰσιέναι. ὡς δ' [οἱ] ἄλλοι πάντες ἄνθρωποι προελθόντες εἰς τὸ δημόσιον ἅπαντα πειρῶνται πράττειν κόσμια, οὕτω σὺ κατὰ τὴν ἰδίαν οἰκίαν πρᾶττε. ἀλλ' ἐκεῖνοι μὲν αἰδούμενοι τοὺς ἄλλους ἁμαρτόντες τι φωραθῆναι, μόνους ἑαυτοὺς οὐκ αἰδοῦνται· σὺ δὲ σαυτὸν αἰδοῦ μάλιστα πειθόμενος τῷ φάντι·

„Πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.“

[Cap. VI.] Οὕτως γὰρ πράττων δυνήσῃ ποτὲ τὴν τοῦ θυμοειδοῦς ἐν σοὶ δύναμιν ἄλογον, ὥσπέρ τι θηρίον ἡμερῶσαί τε καὶ πρᾳῦναι· ἢ δεινὸν ἂν εἴη τοὺς μὲν ἱππικοὺς ἄνδρας ἀχρείους τοὺς ἵππους παραλαβόντας ἐν ὀλίγῳ χρόνῳ χειροήθεις ἐργάζεσθαι, σὲ δ' οὐκ ἔξωθέν τι λαβόντα ζῶον, ἀλλ' ἐν τῇ ψυχῇ [σου] δύναμιν ἄλογον, ᾗ διὰ παντὸς ὁ λογισμὸς σονοικεῖ, μὴ δυνηθῆναι πραῦναι [τὴν] αὐτὴν, εἰ καὶ μὴ ταχέως, ἀλλ' ἐν μακροτέρῳ χρόνῳ. —

V.

His quinque capitibus specimen earum emendationum addere liceat, quibus in reliqua commentarii parte opus visum est.

---

3. δεῖ οὖν θαρρεῖν ὡς ὑπὸ K. B. δεῖ οὖν ὡς θαρρεῖν L. ὡς *om.* M. . 4. καταλειμένων L. κατηλειμμένον B. — ὅπερ τὸ πᾶν L. — τῷ ἄκοντι *om.* L. 5. οὕτω M. οὕτως libri. 7. κατὰ πάντα libri; extrudit κατὰ Sauppe. — ὡς δ' οἱ ἄλλοι πάντες ἄνθρωποι Sauppe; ὡς δ' ἄλλοι πάντες αὖ οἱ K. cf. pag. 22; Cobet: Novae lectiones pag. 612 „Notissimum est, quot menda compendium ANOC pepererit.“ 9. πρᾶττε M. πράττεις libri. 10. ἁμαρτῶντας L. 13. αἰσχύναι|ο L. αἰσχύναι ο σαυτόν A. B. αἰσχύνεο K. cf. Stob. flor. I, 15, 11 Meinecke. 18. τῇ ψυχῇ [σου] M, ἐν τῇ σαυτοῦ ψυχῇ L. 19. ὁ λογισμὸς ου (sic) συνοικεῖ L. 20. τὴν αὐτὴν L.

Cap. VI. pag. 27, 10. ὡς γε κἀπ' αὐτῶν] L.: ὡς ἐκείνην ου^τ κἀπ' αὐτ. Ex his corrigenda sunt verba: ὡς ἐκείνων οὕτω κἀφ' αὐτῶν.

pag. 32, 2. scribe: ἐπισκέπτου μᾶλλον, πότερον ἐγκρατῶς διψῆσαι χθὲς ἢ τήμερον.

pag. 32, 8. lege: καὶ διὰ τοῦτο τοὺς μὲν οἰνοφλυγίαις ἔστιν ἰδεῖν ἡδομένους. L.: τοῖς μέν. K.: ταῖς μέν.

pag. 32, 11. ταγήνοις]. L.: τα^{γν}. Haud dubie scribendum est τηγανίταις. cf. Gal. VI, p. 490. οἱ μὲν οὖν ταγηνῖται παρὰ τοῖς Ἀττικοῖς ὀνομαζόμενοι, παρ' ἡμῖν δὲ τοῖς κατὰ τὴν Ἀσίαν τηγανῖται σκευάζονται δι' ἐλαίου μόνου. βάλλεται δὲ τὸ μὲν ἔλαιον μόνον εἰς τήγανον ἐπικείμενον ἀκάπνῳ πυρὶ κ. τ. ἑ.

Cap. VII. pag. 35, 11. τούτων ἐλάττων μέν, ἀλλ' ὅμως καὶ αὐτὴ πάθος. Deest substantivum. Haud male Goulstonius scripsit τούτων ἐλάττων μὲν [καὶ ἡ φιλαρχία] ἀλλ' ὅμως καὶ αὐτὴ πάθος, ita ut haec verba librarii errore, de quo supra vidimus, in superiorem versum irrepsisse existimanda sint.

pag. 35, 16. πλησιάζον αὐτῇ]. L.: πλησ. δέ πως αὐτήν. Scribendum videtur: πλησιάζον δέ πως αὐτῷ.

pag. 36, 13. τῶν συζώντων recte Bas. et Laur. pro eo quod apud Kuehnium legitur σωζόντων.

pag. 37, 4. L.: καί τις τῶν συνηθεστάτων. (καί τοι K.)

pag. 37, 5. ἀρνούμενος ἀνιᾶν]. Corrigendum videtur ἀνιᾶσθαι velut pag. 18, 2 ἀρνούμενον ex ἀρνοῦντα.

pag. 37, 7. ἀγρυπνοῦντα]. Accusativus notissimae legi grammaticae repugnat. L.: ἀγρυπνᾶ. Scribendum ἀγρυπνᾶν, ut etiam paullo post v. 9. ἀνιώμενος pro ἀνιώμενον.

pag. 37, 10. Verba maxime deturbata sic emendanda esse puto σμικροῖς] [παρ'] ἐμαυτοῦ ἠξίου μαθεῖν, ὅπως ἐμοὶ (sic L.) τοῦτο περιεγένετο, πότερον ἐξ ἀσκήσεώς (sic L.) τινος ἢ δογμάτων (sic L.) ἢ φύντι τοιούτῳ.

pag. 38, 4. lege: καὶ λίθοις καὶ ξύλοις ἀμύνασθαι.

pag. 42, 8 post ‚διδάξαντα' lacuna statuenda est, cujus sententiam ex aliis locis restituere poteris: Gal. XIX, pag. 40 et 59, aliisque.

pag. 44. extr. lege εἰ δὲ πλείω τῆς εἰς ταῦτα χρείας (L.) εἴη.

Cap. IX. pag. 47. extr.: locum corruptissimum hunc in modum sanasse mihi videor: σαυτὸν δ' ὡσαύτως ἐμοὶ διαιτώμενον θεῶμαι, λυπούμενον δ' ἀνομοίως (L.) ἐμοί, καίτοι τῆς οὐσίας σου ἕκαστον ἔτος αὐξανομένης.

pag. 48. 11. ἐθεασάμην] L.: ἐθεάσ^{ομ}; igitur ἐθεάσω με καὶ τὰ χρέα διαλυσάμενον.

Cap. X. pag. 52, 15. ἐκ τῶν ὑστέρων] L.: ἐκ τῶν ῥηθέντων.

pag. 54, 3—5. Ex codice haec verba sic corrigenda sunt: καθάπερ ἤκουσά τινος λέγοντος, ἥττονος (L.) μὲν ἀνθρώπου (L.) καὶ λιχνείας καὶ ἀφροδισίων, καὶ δόξης καὶ τιμῆς, οὐκ ἔχοντος (L. ἔ^{χ} τὸν δὲ πλοῦ^{τ} εἴτ' ἀνιω^{μ}) δὲ πλοῦτον, εἶτ' ἀνιώμενον, διότι μηδενὸς ἐτύγχανεν ὧν ἐφίετο.

pag. 54, 9. φάντος δέ μου οἱ πλεόνων ἐτῶν] L.: φαν^{τ} δ' ἐμοῦ ἢ πάλ ἐτῶν. Igitur corrigendum: φάντος δ'. ἐμοῦ ἢ πολλῶν ἐτῶν δεῖσθαι.

pag. 55, 8. ἀδύνατόν ἐστι νῦν ὁρίσαι τοῦτο τὸ πρῶτον ἀρχομένῳ] L.: του^{τ} τῷ πρώτῳ; igitur legendum: ἀδύνατόν ἐστι γνωρίσαι τοῦτο τῷ πρῶτον ἀρχομένῳ.

pag. 55, 11. Locum difficillimum sic recte restituisse me persuasum habeo: ὥσπερ δ' ἐν τούτῳ ἡ ἀρετὴ γειτνιᾷ τῇ κακίᾳ, κατὰ τὸν αὐτὸν τρόπον τῆς φιλοτιμίας ἐκκοπτομένης ἀναισχυντία (sic L.) [γεννᾶται] κατὰ τὰς καλῶς (L.) πεφυκυίας ψυχάς. ἑτέρους οὖν (L.) εἶναι [δεῖ] τοὺς ὀψομένους κτλ.

pag. 57, 2. L.: κατὰ τὴν εἰρημένην ὁδὸν γίνεται.

Liber II. Περὶ ἁμαρτημάτων.

Cap. I. pag. 59, 12—60, 3. interpolationis speciem prae se ferre mihi videntur quia et corruptissima verba sunt neque in sententiarum nexum quadrant. Facile fieri poterat, ut librarius, cum (60, 6) verba „ὡς γεωμετρικοῦ δηλονότι τἀνθρώπου" scriberet, periodum illam tamquam explicationem horum margini adscriberet. Unde is, qui postea hunc librum describebat, verba in contextum, idque falso loco, ut saepius in hoc commentario, intulit.

Cap. II. pag. 62, 4. τελείωσιν τολμῶσιν]. Omnes libri: τελείωσιν om. τολμῶσιν, quod a Kuehnio vel Schaefero illatum videtur, sicut paullo ante ἀριθμῶν pro ἀρετῶν quod in libris est; τολμῶσιν recipiendum est; expungendum τελείωσιν.

pag. 62, 11. ὅτι δὲ οὐκ ἂν ἔπειθον, ὡς ἀληθῶς εἰ μή τις ἦν αὐτοῖς ὁμοιότης, οὐδὲ ταῦτα δῆλον· ὡς οὐ σμικράν γε χρὴ νομίζειν εἶναι τὴν ὁμοιότητα. Ut ex eis quae secuntur intellegitur, Galenus de similitudine verarum et falsarum rationum dicturus est. Itaque scribendum εἰ μή τις ἦν ἐν τοῖς [λόγοις] ὁμοιότης, οὐδὲ τοῦτ' ἄδηλον. καὶ [L.] σμικρὰν negatione οὐ expuncta.

pag. 63, 5. περὶ τὰς ὁμοιότητας] scribe ὥσπερ [γὰρ] τὰς ὁμ.

pag. 63, 15; deest verbum finitum, quod dicunt. Inserendum est ex usu Galeniano ὁρῶμεν, quod ante ὡς ὀρθῶς facile excidere potuit. cf. K. pag. 3 πάντας ἀνθρώπους ὁρῶμεν ἑαυτοὺς ὑπολαμβάνοντας et saepius.

pag. 63, 16 προσχηματισμοῦ] L.: προχρηματισμ; lege πρὸς χρηματισμὸν sicut τιμῆς ἕνεκεν. cf. Gal. adhort. tom. I, p. 38 ὥστε εἰ καὶ πρὸς χρηματισμὸν ἀσφαλῆ τε καὶ οὐκ ἄδοξον ἀξιοῖ τις ἡμᾶς παρεσκευάσθαι. Plat. Ep. VIII, 355 A. μὴ πρὸς χρηματισμόν.

pag. 64, 4. εἶναι] corrigendum in κρῖναι cf. pag. 8. ἀλλὰ καὶ μὴ σαυτὸν ὁ λόγος οὗτος ἐπιτρέπει σοι κρίνειν, ἄλλον δὲ (sic e conj.) συγχωρεῖν δύνασθαι κρίνειν.

pag. 65, 2. scribe: νομίζειν δὲ τὴν ἀλήθειαν ἑαυτοῖς ἐγνῶσθαι.

pag. 65, 8 ante ὅσα περ insere ὡς.

pag. 65, 12 ‚πρὸς ἀλήθειαν' deest in libris; et a Charterio illatum videtur. Locum spurium sic restituerim; τοῦτο γὰρ ἐπ' ἐκείνῳ σύμπαν ἐστι, καὶ χρὴ πεφυκέναι μὲν πρῶτον [καὶ] τεθράφθαι χρηστὸν, εἶτα δεῖται παιδείας. τῷ δὲ μήτε φύντι πρὸς ἀλήθειαν, ἔν τ' ἐπιτηδεύμασι (L.: ἐπιτηδευμασι$^{\tau}$) μοχθηροῖς — τραφέντι, — ἀδύνατόν ἐστίν ὀρεχθῆναί ποτ' ἀληθείας.

pag. 66, 2 lege: ὃς ἂν ἀληθείας ᾖ φίλος, ἐκείνῳ.

Cap. III. 10. ἢ τὰ ἐπιταχθέντα] scribe εἰς τὰ ἐπιτ.

16. τοῦ προλαβόντος· εἴ τις εἰς πέντε διελεῖν] scribe τοῦ προ-

λαβόντος, ἤτοι εἰς πέντε διελεῖν ἴσα — ἢ εἰς ἕπτα κελεύσειεν, εἴτε (L.) εἰς εἴκοσιν ἢ ἑκατόν (L. om. εἰς).

pag. 67, 1 διδαχθεὶς] scribe διδαχθείσῃ χρώμενος.

pag. 67, 3 versus corruptus sic restitui potest: πρᾶγμα, [καὶ] φανεῖται ἅπαντα τὰ μέρη τῆς [L.] οὕτω διαιρεθείσης ἀκριβῶς ἴσα.

pag. 68, 6 lege: καὶ βασάνους [οὐ] μικρὰς ἐκ τοῦδε αὐτῆς τῆς (L.) ἀληθείας ἕξομεν, ὡς τολμήσασθαί ποτε χρήσασθαι κἀπὶ τῶν [μὴ] δυναμένων αὐτὸ μαρτυρεῖν ἐναργῶς.

pag. 68, 12 corrigendum est: ἐν ὕλαις πραγμάτων, ἐλεγχούσαις μὲν τὸν ψευδῶς οἰόμενον εὑρηκέναι τὰ ζητούμενα, μαρτυρούσαις δὲ τοῖς ἀληθῶς εὑρηκόσιν.

pag. 69, 7 ὅτι δὲ δάκνονται] deest verbum finitum. L.: οἱ δὲ ὅτι. Conjecerim οἶδα δὲ ὅτι.

pag. 70, 8 ἐὰν οὖν ἐξέλῃ ὁ μέλλων] L.: ἐξέλ^ς τ^ῦ μέλλον^τ id est ἐξέλῃς τοῦ μέλλοντος. cf. p. 51, 1. τὴν δ' αὐτὴν ταύτην ἀπληστίαν ἂν ἐξέλῃς τοῦ τιμᾶσθαι βούλεσθαι.

pag. 71, 2. πείθεσθαι ferri nequit; itaque aut πείθειν μειράκια ἀπαίδευτα· scribendum, aut quod mihi videtur ἐπιθέσθαι τοῖς μειρακίοις.

pag. 72, 1. fort. scribendum ὥσπερ[ανεί] αὐτοί.

pag. 72, 7. post δογμάτων ex Laur. insere εἰσί.

pag. 72, 11. scribe ἐναργὲς δὲ τούτου τεκμήριόν ἐστι.

pag. 72, 12. σοφίσματα, λόγοι τινὲς ὄντα Laur.

pag. 73, 8, 9. scrib.: πείσουσι δὲ, προβάλλειν ἐπιτρέποντες τοῖς βουλομένοις τῇ πείρᾳ γνῶναι τὴν δι [άνοιαν] αὐτῶν.

pag. 73, 14. Scripserim προμεμαθηκέναι πρότερον [τὰ] τῆς τῶν ἀληθῶν λόγων φύσεως.

pag. 74, 2. scribe τοὺς βουλομένους.

pag. 74, 8. Laur. optime: εἶτ' οὐχ ἐσχάτης — ἄξιοί εἰσιν;

pag. 75, 7—8. ex Laurentiano verba depravata sic emendaverim: ἢ ὅστις μὲν, ἐσκιρρωμένος[1] ἐτῶν ἤδη τριῶν ἢ τεττάρων ἄλυτον ἔχει τὸν σκίρρον, ἡ δὲ (L.) τῶν τοιούτων γερόντων ψυχὴ τὸν τῆς ἀμαθείας τε καὶ δοξοσοφίας σκίρρον ἐτῶν τριάκοντα [ἢ τεσσαράκοντα] (L.) ἔχουσα δύναται λυθῆναι;

[1] L. μὲν ἐσκιρ^ν ἐν ᾧ τὸ ἤδη τριῶν.

pag. 76, 1. ὡς ἐριζομένων ὄντων ferri nequit. Itaque scribe ἐρεζόντων.

pag. 76, 17. κατάκρισις ψευδὴς] lege κατὰ κρίσιν ψευδῆ.

Cap. IV. pag 78, 8 legendum videtur: πάντες ἦκον οἱ τιμήσαντες (δὲ om. in L.) ἑαυτοὺς προπετῶς. — (L.) ἀπεφήναντο δὲ [alterum ἀπεφήναντο abest a L.] προπετῶς ἤτοι πάντες, ἢ χωρὶς ἑνὸς[1] ἄνευ τοῦ κρῖναι τὰς ἀποδείξεις, εἴτ' ὄντως εἰσὶν ἀποδείξεις, εἴτε εἶναι φαίνονται.

Cap. V. pag. 81, 4. δέξασθαι εἰς τὴν] εἰς om. in L.

pag. 87, 12. μειζόνως ἢ ταῖς — ἡδοναῖς δουλεύοντες. L.: μειζόνως οἱ ταῖς. Scribe ἢ οἱ.

pag. 88, 5. ἐξ. ἔχουσαν, τὸ μαρτυρῆσαι πρὸς αὐτῶν τῶν εἰρημένων]. L.: μαρτυρεῖσθαι. Igitur locum sic restituere poteris, ἐξ. ἔχουσαν τὸ μαρτυρεῖσθαι πρὸς αὐτῶν τῶν εὑρημένων.

pag. 88, 15. εὐλόγως ἀλαζονεύονται]. Sine dubio corrigendum est εὐλόγως [ἂν] ἠλαζονεύοντο.

pag. 90, 6, μόνοις αὐτὰ] corrige αὐτοῖς.

pag. 91, 15. ἔνεστι γνῶναι] L. ἔνεστί σοι γνῶναι.

pag. 91, 17. διαβάλλουσι]. L.: διαβα$^{λλ'}$ igitur διαβάλλειν.

pag. 91, 18. Scribendum videtur ἐγὼ δ' [εἰ] συνάγω αὐτούς.

pag. 92, 1. legerim ἀλλὰ μὴν αἰδῶ τινα καταπροτείνονται.

pag. 92, 11. Laur. recte: ἀγνοούντων δέ.

Cap. VI. pag. 93, 18. L.: βραχεῖαν μὲν ἐλπίδα.

pag. 94, 2. ἐφ' ᾧ] L. recte: ἔφην.

pag. 94, 8. Scribe ὄντων γὰρ ἐναργῶν τῶν μέν.

pag. 95, 10—13. Haec verba mirum sane quantum corrupta hunc in modum sanavisse me credo: τοῦτ' οὖν αὐτὸ πρῶτον ἀναμνήσθητι, πρὶν ἐπὶ τὰ πρὸς διάνοιαν ἐναργῆ μετιέναι, [εἰ] εἶπες (L.) καὶ σύ ποτε προπετῶς; „ὅρα τόνδε τινὰ τὸν προσιόντα“ φέρε „Μένιππον“, ὅς, ὁπόθ' ἧκε πλησίον — (L. ὡς ἀποθῆκε) — ἔγνωσται.

pag. 97, 4. θεάσασθαι τὸ προστιθέμενον εἰς ἑαυτοὺς] ut opinor, scribendum est θεάσασθαι προστιθεμένους ἑαυτοὺς ἁπάσαις ταῖς προπετέσι συγκ.

pag. 98, 2. εἰ μὴ ἄρα πλεονεξία]. Cum Goulstonio scripserim

[1] Verba οὐδ' αὐτός ἐστι φανερὸς tamquam gloss. del.

ἡ μιαρὰ πλεονεξία. cf. pag. 52, 12. τοῦ πλούτου κινυροῦ (sic L.) τε καὶ μιαροῦ μᾶλλον;

pag. 98, 4. ἐπαινῶ μόνον] corrige: ἐπαινούμενον.

Cap. VII, pag. 98, 14. deest verbum. Fortasse πέφυκε ut est pag. 93, 8 ubi verba sic emendanda sunt: [ἴδοιμεν] (L. οἰδ οἱ μὲν ἐν) ἐν αὐτῷ σαφῶς, εἴτ' ἐν μιᾷ χώρᾳ πέφυκε μένειν εἴτε καὶ φέρεσθαι πρὸς ἄλλον τινὰ τόπον, ὅπερ ἂν ἐν αὐτῷ τεθῇ σῶμα." Sed nil necesse. In Laurentiano codice extat μεθίσταται; itaque supra quoque scribendum εἴτε μένει.

pag. 99, 3. Multa deesse videntur ante ἤκουσα πρῴην. ἀμφισβητοῦντοιν, ut ex codicis scriptura ἀφιστούντοιν emendandum est.

pag. 100, 12. L.: τὸ τοῦ ξύλου βάρος τῷ τοῦ ὕδατος.

pag. 101, 10. ἕν τι καὶ δύο]. Ex quo apparet, secundam enarrationem sub finem commentarii periisse.

pag. 101, 16. scribe: διαφέρει γε μὴν, ἔφην, τοῦδε τοῦ φιλοσόφου.

pag. 102, 6. L.: ὁμοδόξων.

pag. 102, 12. Corrige: τοιούτους. γνώσεσθε δὲ, ὅτι μὴ ψεύδομαι, ex Laurentiano, qui haec exhibet: γνώσεσθαι δ', ὅτι μὴ ψεύδο$^{\mu}$. Ald. ὅτι μὴ ψεύδ.

pag. 103, 1. L.: ἀλλὰ γὰρ]. Ante haec lacunam statuamus necesse est, quippe cum minime intellegatur, qua de re subito de divitibus agatur. Respicit hic locus ad ea, quae libro primo ineunte (pag. 13) Galenus dixerat.

Typis exscripserant Metzger & Wittig.

This book should be returned to the Library on or before the last date stamped below.


A fine is incurred by retaining it beyond the specified time.

Please return promptly.

AUG 23 '82 H

AUG 7 '67 H

CANCELLED






Gg 1.30
Observationes criticae in Cl. Galen
Widener Library 006687667
3 2044 085 118 347